# TEZAUR LITURGIC

## 18 OCTOMBRIE
## SF.SIMEON AL TESALONICULUI

# CANONUL SF.APOSTOL ŞI EVANGHELIST LUCA

ATENA,2020

www.tezaurliturgic.ro



# ΚΑΝΩΝ

# ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΑΠΟΣΤΟΛΟΝ ΚΑΙ ΕΥΑΓΓΕΛΙΣΤΗΝ ΛΟΥΚΑΝ ΤΟΝ ΙΑΤΡΟΝ

## Ποίημα ΑΓΙΟΥ ΣΥΜΕΩΝ ΘΕΣΣΑΛΟΝΙΚΗΣ

Ἀκροστιχίς: *Εὐαγγελίου συγγραφεῖ Λουκᾷ μέλος, Συμεών.*

*Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.*

Ἐπειδὴ ἔφης πολλοὶ ἐπεχείρησαν· τοῦ ἀνατάξασθαι· τῶν θείων πραγμάτων· Χριστοῦ τὴν διήγησιν, καθὼς οἱ ὑπηρέται σοι· πρὶν παρέδοσαν Λόγου, αὐτὸς σὺ γράψας παρέδωκας· καὶ ἡμεῖς τολμῶμεν ὑμνῆσαί σε.

Ὕμνους σοι πλέκειν ἐκ τῶν θείων λόγων σου, ὦ θεηγόρε Λουκᾶ, δίκαιον καὶ πρέπον· διὸ καὶ ὡς ἄγγελον· καὶ κήρυκα τοῦ Λόγου σε· καὶ ἐνσάρκου ἀγγέλου· Χριστοῦ εἰπόντα τὴν σύλληψιν· τοῦ Προδρόμου, μάκαρ γεραίρομεν.

Ἅγιος ὅλος πεφυκὼς ἐκήρυξας· ἐν τοῖς ἁγίοις ἰδεῖν· ἄγγελον Κυρίου· Ζαχαρίᾳ λέγοντα, ἠκούσθη σου ἡ δέησις· καὶ γεννήσεις προφήτην, ὃς τοῦ Χριστοῦ προπορεύσεται· καὶ ὡς ἴσον τούτου ὑμνοῦμέν σε.

*Θεοτοκίον.*

Γέγραφε κόρη, ὁ Λουκᾶς ὡς ἔβλεψας· τὸν ἄγγελον Γαβριήλ· τῷ μηνὶ τῷ ἕκτῳ· καὶ τὸ Χαῖρε ἔφη σοι,

εὐλογημένη πάναγνε· καὶ κεχαριτωμένη, μετὰ σοῦ χαῖρε ὁ Κύριος, καὶ ἡμεῖς τὸ Χαῖρέ σοι κράζομεν.

*ᾨδὴ γ΄. Ὁ στερεώσας κατ᾽ ἀρχάς.*

Γράφεις τὴν κόρην ἐν γαστρί· τὸν Θεὸν Λόγον λαβοῦσαν· σαρκωθέντα ἐξ αὐτῆς πορευθῆναι, ὢ μάκαρ Λουκᾶ, Ἐλισάβετ ἀσπάσασθαι· καὶ μητέρα Κυρίου· ταύτην ἐκ ταύτης ἐκήρυξας.

Ἐσκίρτησεν ἀπὸ γαστρός· ὁ Πρόδρομος ἐκδιδάσκεις, καὶ βοᾷ διὰ μητρός, Πόθεν, μήτηρ· τοῦ Κυρίου μου ἁγνή, τὸ πρὸς ἡμᾶς γενέσθαι σε, εὐλογημένη πέλεις· εὐλογημένος ὁ τόκος σου.

Λέγω σε κήρυκα Θεοῦ· Εὐαγγελίου τε θείου· συγγραφέα ὑψηλὸν ἐγνωκότες· μυστηρίων τῶν φρικτῶν· μυσταγωγόν τε μέγιστον· ῥήτορα Ἐκκλησίας· Χριστοῦ Λουκᾶ μακαρίζομεν.

*Θεοτοκίον.*

Ἱερωτάτην σὴν ᾠδήν· τὸν γράψαντα νῦν ὑμνοῦμεν· καὶ σὲ κόρη· Μεγαλύνει ψυχή μου· Κύριον ὅτι ἰδού· εἰς τὴν ἐμὴν ἐπέβλεψε· ταπείνωσιν ποιήσας· ὁ δυνατὸς μεγαλεῖά σοι.

*ᾨδὴ δ΄. Σύ μου ἰσχύς, Κύριε.*

Ὅλος τελῶν· Λουκᾶ τῆς χάριτος πλήρωμα· Ἰωάννου· κλῆσιν χαριτώνυμον· ἐν τῇ γεννήσει γράφεις αὐτούς· καὶ ᾠδὴν πατρὸς δέ· Εὐλογητὸς λέγων Κύριος· ὅτι λύτρωσιν θείαν· νῦν ἐποίησε πᾶσι· οἱ λαβόντες οὖν ταύτην ὑμνοῦμέν σε.

Ὑπάρχων σύ· ὡς ἀληθῶς μέγας Ἄγγελος· καὶ ποιμὴν δέ· Λουκᾶ ὅλος ἄμωμος· τὴν τοῦ Χριστοῦ γέννησιν ἡμῖν· τὴν ἐν τῷ σπηλαίῳ· καὶ φάτνῃ γράφεις ἀνάκλησιν· καὶ δρᾶσιν ποιμένων· καὶ τὸν ὕμνον ἀγγέλων· Δόξα κράζων Θεῷ εἰρήνη ἐν γῇ.

Σὺ ἐλλαμφθείς· δόξῃ Κυρίου ἐξέθηκας· τοὺς ἀγγέλου· λόγους· Μὴ φοβεῖσθε δή· εὐαγγελίζομαι γὰρ ὑμῖν· χαρὰν τὴν μεγάλην· ὅτι ἐτέχθη ὑμῖν Σωτήρ· ὁ Χριστὸς Κύριος μόνος· ὃν δυσώπει τοῦ σῴζειν· ὦ Λουκᾶ τοὺς πιστῶς εὐφημοῦντάς σε.

*Θεοτοκίον.*

Ὕμνον λαμπρόν· γράφει Λουκᾶς ἐν τῷ τόκῳ σου· Θεῷ δόξα· ἐν ὑψίστοις πάναγνε· εἰρήνη θεία ἐπὶ τῆς γῆς· καὶ ἐν τοῖς ἀνθρώποις· ἡ εὐδοκία· νῦν γέγονε· καὶ σὲ μαρτυρεῖ κόρη· ὡς τὰ ῥήματα πάντα· συνετήρεις ἁγνὴ ἐν καρδίᾳ σου.

*ᾨδὴ ε΄. Ἵνα τί με ἀπώσω.*

Γράφεις τὸ τῶν ποιμένων· θαῦμα ἐφ᾽ οἷς ἤκουσαν καὶ εἶδον ἔνδοξε· καὶ Ἰησοῦ κλῆσιν· τὴν σωτήριον τῷ περιτέμνεσθαι· καὶ τὴν ὑπαντὴν δέ· καὶ Συμεὼν τὴν προφητείαν· θεηγόρε Λουκᾶ, τὴν ἐν Πνεύματι.

Γραφικαῖς μαρτυρίαις· πάντα τὰ Χριστοῦ μεγαλύνεις μυστήρια· ὅπως ἐσαρκώθη· φῶς ἐθνῶν τε τῷ κόσμῳ ἐπέφανε· καὶ δωδεκαετής· Υἱὸς Θεοῦ καὶ παῖς ὢν κράζει· Τοῖς Πατρός μου δεῖ εἶναί με πάντοτε.

Ῥήτωρ ὤν τῆς Τριάδος· πρῶτος ταύτης ἔδειξας τὴν γνῶσιν γράμμασιν· Υἱὸν βαπτισθέντα· καὶ τὸ Πνεῦμα δεικνὺς κατερχόμενον· Πατέρα βοῶντα· Οὗτος Υἱὸς ἀγαπητός μου, καὶ πιστοὶ ὦ Λουκᾶ εὐφημοῦμέν σε.

*Θεοτοκίον.*

Ἀριθμεῖ Λουκᾶς κόρη· γενεὰν τὴν θείαν σου ἐκ Δαυῒδ οὖσάν σε· Ἀβραὰμ καὶ Σήθ τε· καὶ Ἀδὰμ καὶ Θεοῦ φάσκων πάνσεμνε· ἐπεὶ Θεοῦ γένος· τὸ γηγενῶν ἐν σοὶ ἐδείχθη· καὶ τιμῶντες αὐτὸν σὲ δοξάζομεν.

*ᾨδὴ στ΄. Τὴν δέησιν, ἐκχεῶ.*

Φανέρωσιν, τὴν Χριστοῦ ἐδίδαξας· Ἰωάννην ἐκδιδάσκοντα δείξας· τοῦτον Θεόν, πειρασμοὺς καὶ νηστείαν· καὶ τὰ θαυμάσια ἐκδιηγούμενος· ἀνάγνωσιν ἐν Ναζαρέτ· ὦ Λουκᾶ θεηγόρε, καὶ τέρατα.

Ἐξέθηκας, δαιμονίων δίωξιν· ἰατρείαν πενθερᾶς τῆς τοῦ Πέτρου· νόσων πολλῶν, καὶ δι᾿ ἄγρας ἰχθύων· μαθητῶν κλῆσιν λεπροῦ τε τὴν κάθαρσιν· καὶ παραλύτου ῥῶσίν τε· Λευῒ κλῆσιν Λουκᾶ παμμακάριστε.

Ἰάθη μέν, ὁ ξηρὰν ἔχων χεῖρα· καὶ τοῦ ἄρχοντος ὁ παῖς υἱὸς χήρας· καὶ λεγεὼν ἐδιώχθη, ὡς ἔφης· νεκρὰ ζῇ παῖς καὶ αἱμόῤῥους δὲ ἴαται· καὶ πλεῖστα πάθη ἀλλά τε· καὶ ἡμᾶς ἰατρὲ Λουκᾶ, ἴασαι.

*Θεοτοκίον.*

Λαμπόμενος, ὁ Λουκᾶς ἐκ σοῦ κόρη· διηγεῖται τοῦ Υἱοῦ σου τὰ ἔργα· ἀνιστορεῖ, καὶ σεπτήν σου εἰκόνα·

καὶ ἰατρεύει τὰ πάθη καὶ νόσους δέ· διώκει κλήσει τοῦ Χριστοῦ· καὶ σοῦ κόρη μεθ᾽ οὗ τιμῶμέν σε.

*ᾨδὴ ζ΄. Θεοῦ συγκατάβασιν.*

Ὁ μέγας συνέκδημον· ἔχει σὲ Παῦλος Λουκᾶ ἀπόστολε· καὶ σὺν τούτῳ τὴν πᾶσαν· Ἀσίαν τρέχεις Μακεδονίαν σοφέ· καὶ Ἀχαΐαν εἰς Ἱεροσόλυμα· συνδεσμευθεὶς δὲ αὐτῷ· σύμπλους εἰς Ῥώμην φοιτᾷς.

Ὑπέγραψας ἅπαντα· ὡς δυνατόν σοι Χριστοῦ τὰ θαύματα· μαθητῶν τε τὴν κλῆσιν· τὰς ἐντολάς τε παραβολὰς τὰς σεπτάς· τὴν ἐν τῷ ὄρει Θαβὼρ μεταμόρφωσιν ὡς ἐλλαμφθεὶς τὴν ψυχήν· Λουκᾶ καὶ λάμψον ἡμᾶς.

Καλῶς τὴν τῶν δώδεκα· καὶ ἑβδομήκοντα ἐκλογὴν ἔθηκας· προσευχήν τε τὴν θείαν· καὶ τὰς ἀσώτου καὶ τοῦ τελώνου φωνάς· τοῦ ἐμπεσόντος εἰς λῃστάς τε ἴασιν· Λαζάρου τε τὸ πτωχόν· δι᾽ ὧν καὶ σῶσον ἡμᾶς.

*Θεοτοκίον.*

Ἁγνὴ ὥσπερ ἔγραψε· Λουκᾶς ὁ θεῖος σοῦ μακαρίζομεν· τὴν ἁγίαν κοιλίαν· τὴν τὸν Θεόν σου ἁγνῶς βαστάσασαν· καὶ τοὺς μαστούς σου οἷς αὐτὸν ἐθήλασας· καὶ δὸς τὸν λόγον αὐτοῦ· τηρεῖν καὶ σῴζεσθαι.

*ᾨδὴ η΄. Ἑπταπλασίως κάμινον*

Μέγα δῶρον διέγραψας· παρθενίας τὸ χάρισμα καὶ τῆς ἀκτησίας ἐκ τοῦ νεανίσκου σύ· τὰς δέκα δὲ μνᾶς πολλάς· εἰργάσω θείοις πόνοις σου· καὶ δύο λεπτὰ

ὑπὲρ ἁπάσας θυσίας· ψυχὴν καὶ σῶμα μάκαρ· τῷ Χριστῷ σου προσήξας· καὶ νῦν τὸ Καλὲ δοῦλε· παρὰ Χριστοῦ ἀκούεις.

Ἐξέθηκας τοῦ πώλου μέν· ὦ Λουκᾶ τὴν ἐπίβασιν· καὶ παίδων τὸν ὕμνον καὶ φθόνον τὸν ἄδικον· θεοκτόνων ἔνδοξε· καὶ τὰς φωνὰς τὰς θείας Χριστοῦ· καὶ ἐπιβουλὰς τῶν κατ᾽ αὐτοῦ μαινομένων· ἃς καὶ αὐτὸς ὑπέστης· διωχθεὶς ὑβρισθείς τε· ᾧ καὶ νῦν συνδοξάζῃ· εἰς οὐρανοὺς χορεύων.

Λέγεις τὸ δεῖπνον ἔνδοξε· μυστικὸν τὸ θειότατον· καὶ τὴν προσευχὴν Χριστοῦ καὶ προδοσίαν τε· τὰς ὕβρεις τοὺς μώλωπας· σταυρὸν εὐγνώμονός τε λῃστοῦ· τὸ Μνήσθητι κράζεις· καὶ θάνατον Δεσπότου καὶ ἔγερσιν, ὃν εἶδες σὺ Κλεόπα ὁδεύων· καὶ θερμανθεὶς παράσχου· τὴν αὐτὴν ἡμῖν θέρμην.

*Θεοτοκίον.*

Ὄρθρου βαθέος δέσποινα· τὸν υἱόν σου ἐκήρυξε· Λουκᾶς ἀναστῆναι καὶ σὺν μυροφόροις σε· μαθεῖν τὴν ἀνάστασιν· τοῖς ἀποστόλοις τε ἐξειπεῖν· οἷς καὶ τὴν εἰρήνην ἐμφανισθεὶς παρέσχε· καὶ τούτου καταγγέλλει τὴν ἀνάληψιν κόρη· καὶ ἔλευσιν δευτέραν· ἐν ᾗ ἡμᾶς σὺ σῶσον.

*ᾨδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.*

Σὺ λόγον μὲν τὸν πρῶτον θεῖε Λουκᾶ, τὸ σεπτὸν Εὐαγγέλιον ἔγραψας· δεύτερον δέ· Πράξεις τὰς ἐνθέους τῶν μαθητῶν· καὶ ὡς ἐν τεσσαράκοντα·

τούτοις ὀπτανόμενος ὁ Σωτήρ· περὶ τῆς βασιλείας· αὐτοῦ ἦν καταγγέλλων· ἧς καὶ ἡμᾶς σοφὲ ἀξίωσον.

Σὺ Πνεύματος τὴν κάθοδον ἐναργῶς· τοῖς πιστοῖς καθυπέγραψας ἔνδοξε· γλώσσας πυρός· ἐν τῷ ὑπερῴῳ τε κατελθεῖν· καὶ μύστας πλῆσαι ἅπαντας· καὶ τὴν τοῦ Ματθίου τε ἐκλογήν· τῶν ἑπτὰ διακόνων· κηρύκων τριῶν μόρους· καὶ κλῆσιν Παύλου ᾧ συντέταξαι.

Μεμόρφωσαι τοῖς πάθεσι τοῦ Χριστοῦ· μαθητής τε τελῶν τὰ ἐξαίσια· ἔργα ποιεῖς· ὁδηγῶν πρὸς πίστιν ἔθνη φανείς· γραφεὺς Εὐαγγελίου τε· ἰατρός τε θεῖος ὕπνον ζωῆς· ὕπνοις Λουκᾶ ζῶν ἄνω· καὶ φύλαττε συνάμα· τῇ Ἐκκλησίᾳ τοὺς ὑμνοῦντάς σε.

*Θεοτοκίον.*

Ὢν μέγας ἐραστής σου κόρη Λουκᾶς· καὶ τοῦ θείου σου τόκου ἱστόρησε· τούτου σεμνή· εἰκόνα τὴν θείαν μορφωτικῶς· σοῦ καὶ τῶν ἀποστόλων τε· καὶ τοῦτο ὡς μέγα δῶρον ἡμῖν· ἐστὶν εἰς σωτηρίαν· ὅθεν αὐτὸν τιμῶντες· σὲ τὴν κυρίαν τούτου σέβομεν.

*ΣΤΙΧΗΡΑ. Ἦχος δ΄. Ὁ ἐξ Ὑψίστου κληθείς.*

Τῶν θείων λόγων ἡ γλῶσσα νῦν τιμάσθω, φωνὴ ἡ ἐξάκουστος· τῶν μυστηρίων Χριστοῦ, καὶ τῶν αὐτοῦ παραδόσεων, καὶ θείων ἔργων, Λουκᾶς τὸ στόμα τὸ μεγαλόφωνον, βροντὴ ἡ τὰ πέρατα, πάντα πληρώσασα, καὶ ἀστραπὴ ἡ φωτίσασα· πάντα τὸν κόσμον· Εὐαγγελίου τοῖς θείοις ῥήμασι· καὶ ἀποστόλων· ἐν ταῖς Πράξεσιν, ὁ αὐτόπτης Χριστοῦ τῆς

ἐγέρσεως· καὶ ἀπόστολος μέγας, Ἐκκλησίας ὁ θεμέλιος.

Τῶν οὐρανίων ὁ ῥήτωρ ὁ πυρίπνους, ἡ σάλπιγξ ἡ εὔηχος τῶν μυστηρίων Χριστοῦ, ἡ τὰ θεόφθογγα λόγια· διατρανοῦσα· καὶ τὸ σωτήριον καταγγέλλουσα· Λουκᾶς ὁ ἀπόστολος· ἀνευφημείσθω πιστῶς, ὁ θεηγόρος τῆς χάριτος· κῆρυξ καὶ μύστης· τοῦ σαρκωθέντος Θεοῦ δι᾽ ἔλεον, Ἄγγελος ἄλλος· τῆς σαρκώσεως τὴν χαρὰν ὁ μηνύσας τοῖς πέρασιν, ὁ τοῦ Εὐαγγελίου· συγγραφεύς τε καὶ διδάσκαλος.

Ὁ μυστολέκτης Χριστοῦ τῶν ἀποῤῥήτων, ὁ πόθῳ ἀπόστολε ὑπηρετήσας αὐτῷ· καὶ κορυφαίων ἀκόλουθος· καὶ συνεργάτης, Λουκᾶ γενόμενος καὶ συνέκδημος, τοῖς ἔθνεσιν ἅπαντα· ἅπερ ἑώρακας· καὶ ἠνωτίσω κατήγγειλας, τὸ θεῖον γράψας· καὶ παραδοὺς ἡμῖν Εὐαγγέλιον, ᾧ στηριχθέντες· ὡς πατέρα σὲ εὐσεβείας γινώσκοντες ἔνδοξε· σοῦ τὸ θεῖον ἐκ πόθου· πιστοὶ σέβομεν μνημόσυνον.

